TEZAUR LITURGIC

**17 MAI**

**NIKOLAOS KIRKOU**

# SLUJBA SF.MUCENIC NICOLAE DE LA METSOVO

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 17 ΜΑЇΟΥ
# ΝΙΚΟΛΑΟΣ ΝΕΟΜΑΡΤΥΣ ΜΕΤΣΟΒΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Νικολάου Κύρκου**

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ’ τῆς Ἑορτῆς, καὶ γ’ τοῦ Ἁγίου. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Νέος, ἀθλητὴς πνευματικήν, σήμερον ἑστίασιν πᾶσιν, ἡμῖν προτίθησι· δεῦτε φιλομάρτυρες εὐωχηθῶμεν φαιδρῶς, καὶ λαμπρῶς ἑορτάσομεν, ἐν ὕμνοις τιμῶντες, τούτου τὴν πανσέβαστον, ἄθλησιν χαίροντες, ὄντως δι’ αὐτῆς γὰρ καθεῖλεν, ὄφιν τὸν ἀρχέκακον· ὅθεν, καὶ χοροῖς Μαρτύρων συνηρίθμηται.

Δεῦτε, ὁ χριστώνυμος λαός, σήμερον κροτήσωμεν ἅμα, φαιδρὰν πανήγυριν, καὶ τὸν Νεομάρτυρα Χριστοῦ Νικόλαον, εὐφημήσωμεν, οὗτος γάρ, τυράννων τὸ θράσος, θάρσος πρὸς τὸν Κύριον ἔχων κατέβαλεν· ὅθεν, στεφηφόρος συγχαίρει, μετὰ τῶν αὐτοῦ συμμαρτύρων, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δεῦτε, φιλεόρτων ὁ χορός, ἄνθεσι τῶν λόγων ποικίλων, στέφανον πλέξαντες, τὸν γενναῖον Μάρτυρα Χριστοῦ Νικόλαον, ἀναδήσωμεν κράζοντες· χαίροις Νεομάρτυς, χαίροις θεοτίμητε, χαίροις ἐχθροῦ νικητά, χαίροις χριστωνύμων ἡ νίκη, χαίροις τῆς πατρίδος σου κλέος, χαίροις Ἀθλητὰ Χριστοῦ πανεύφημε.

*Δόξα. Ἦχος πλ. β΄.*

Πάλιν Ἀθλητὴς Χριστοῦ, πάλιν πανήγυρις, πάλιν ὁ ἐχθρὸς τροποῦται, πάλιν ἐπινίκια ᾄσματα. Σήμερον αἱ οὐράνιαι Τάξεις τῶν Ἀγγέλων, καὶ ὁ νικηφόρος τῶν Μαρτύρων χορός, φαιδρῶς προχεθέντες, τὸν προσερχόμενον αὐτοῖς στεφανηφόρον ὑποδέχονται, καὶ τούτῳ συγκροτοῦσι τοῦ Κυρίου ἡμῶν Χριστοῦ ὕμνον θεοπρεπῆ. Δεῦτε οὖν καὶ ἡμεῖς πνευματικῶς πανηγυρίζοντες ὦ φιλέορτοι, τὸν Νεομάρτυρα ἐπαινέσωμεν λέγοντες· χαίροις, ἐχθροῦ θριαμβευτά, χαίροις τῶν πρὸ σοῦ Μαρτύρων, ἐπισφραγὶς καὶ βεβαίωσις, καὶ τῶν μετὰ σὲ ὑπογραμμὲ ἔμπφρακτε· χαίροις, ὁ τοῦ μαρτυρίου πιὼν τὸ ποτήριον, καὶ μὴ διψήσων εἰς τὸν αἰῶνα· μὴ ἀποστῇς ἀείποτε, τῇ μαρτυρικῇ σου χρώμενος παῤῥησίᾳ, τοῦ ἐξαιτεῖν παρὰ Χριστοῦ τὰ συμφέροντα, ταῖς ψυχαῖς ἡμῶν Νεομάρτυς Νικόλαε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενου τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Νεὸν σὲ συμμάρτυρα οἱ Μάρτυρες, νέον καὶ ἡμεῖς πρεσβευτὴν πρὸς Χριστὸν κεκτήμεθα· δι' οὗ παντὸς κινδύνου ῥυόμεθα, τιμῶντες τὴν λαμπράν ου

ἄθλησιν· διὸ καὶ κράζομέν σοι ἐκ βάθους καρδίας· ὥσπερ ἐν πυρί, τῶν θεοστυγῶν τυράννων τὸ θράσος κατέφλεξας, καὶ τὸ ἄσεμνον σέβας, οὕτω καὶ τῶν ἁμαρτιῶν ἡμῶν τὰς ὕλας ἐμπύρισον, τῷ πυρὶ τῆς θείας σου πρεσβείας Νικόλαε.

*Ὁ αὐτός.*

Ἄλλος σὺ Ἄβελ ἐδείχθης Μάρτυς Νικόλαε, ὅτι εὐπρόσδεκτον θυσίαν τὸ σῶμά σου, διὰ πυρὸς τῷ Θεῷ περιχαρῶς προσενήνοχας· ἀλλ᾽ ἐκεῖνος μὲν ἐκ τῶν καρπῶν τῆς γῆς, σὺ δὲ ὅλον σεαυτὸν τῷ πυρὶ ὑπὲρ Χριστοῦ ἐνέβαλες· ὅθεν ὡς θυμίαμα εὔοσμον, τὴν ἱλαράν σου θυσίαν ὀσφρανθεὶς ὁ Κύριος, πρὸς ἑαυτὸν τὴν γενναιόφρονά σου ψυχὴν μετήνεγκε, τῇ δρόσῳ τοῦ Παραδείσου αἰωνίως δροσίζεσθαι.

*Ὁ αὐτός.*

Ὅτε, ἐθεάσατό σε ὁ ἐχθρὸς ὁ παμπόνηρος, πρὸς τὸ στάδιον τρέχοντα τοῦ Χριστοῦ καὶ ἐξαλλόμενον, καὶ πρὸς τὸν ἀγῶνα ἀποδυόμενον, καὶ ἄσμενον ἀθλοῦντα, ἐξεπλάγη, πῶς ὅθεν αὐτὸς οὐκ ἤλπιζεν, ἡττηθεὶς πέπτωκε, καὶ καιρίαν τέτρωται· διὸ καὶ κατῃσχυμμένος ὑπέστρεψε, σὺ δὲ μετ᾽ Ἀγγέλων τὴν εὔθαρσόν σου ψυχὴν δορυφορούντων, πρὸς τὸν ἀγωνοθέτην στεφανώσαντα, ἀνῆλθες Κύριον, Μάρτυς ἀοίδιμε Νικόλαε.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα, τὸν ἀντινοβόλον χρυσόν, τὸν ἐν πυρὶ δοκιμασθέντα, καὶ ἀκίβδηλον φανέντα, τῆς εὐσεβείας ἐραστήν, στεῤῥὸν

Νικόλαον, πάντες τιμήσωμεν λέγοντες· χαίροις, οὐρανοπολῖτα γιγαντιαῖε τὴν ψυχὴν καὶ ἀδαμάντινε, ὡς παρεστὼς τῇ μακαρίᾳ Τριάδι, μὴ ἀποστῇς τοῦ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ Νεομάρτυς Χριστοῦ, ὁ θαρσαλέως τῶν τυράννων ἐνώπιον, κηρύξας αὐτὸν τῶν ὅλων, Δημιουργὸν ἀληθῆ, καὶ τῆς ἀσεβείας ἀσεμνότατα, ἐλέγξας τὰ δόγματα, καὶ πιστοῖς πᾶσι καύχημα, ἐγείρας μέγα, καὶ πατρίδι σου εὔκλειαν, μνηστευσάμενος, τοῖς σοῖς ἄθλοις μεγάλαθλε· χαίροις τῶν συμμαρτύρων σου, ὢ μίσθιε ἔνδοξε, ὁ καθαρῶς ἐποπτεύων, Τριάδα τὴν ὁμοούσιον, ἣν μὴ διαλίπῃς, ἱκετεύων ἡμᾶς σῶσαι, τοὺς ἀνυμνοῦντάς σε.

Στ.: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις, ὁ Νεομάρτυς Χριστοῦ, ἡ μυστικὴ τῆς εὐσεβείας κυπάρισσος, ἡ πάσαις ταῖς σφοδροτάταις, ἀνέμων λάβρων πνοαῖς, τῶν ἐξ ἀσεβείας δεινοῦ κλύδωνος, ἀκλόνητος μείνασα, ἣν καὶ πῦρ οὐκ ἐπτόησε, δροσιζομένην, δρόσῳ τῆς θείας χάριτος, εὐσεβείας τε, ῥείθροις οὖσαν κατάῤῥυτον· ὅθεν σε μεταφύτευσε, Χριστὸς ὁ Θεὸς ἡμῶν, εἰς οὐρανίους λειμῶνας, ἔνθα τὰ ἄνθη τὰ εὔοσμα· Ὃν μὴ διαλίπῃς, ἱκετεύων ἡμᾶς πάντας, συναυλισθῆναί σοι.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, συστρατιῶτα κλεινέ, τοῦ Γεωργίου Δημητρίου τε πάντων τε, Μαρτύρων τῶν πανενδόξων, ὁ Στρατηγοῦ στρατευθείς, ἀξίως τοῦ πάντων βασιλεύοντος, ἐχθροῦ τε τὴν δύναμιν, καθελὼν ἀνδρικώτατα, κατὰ τυράννων, δυσσεβῶν ἀνδρισάμενος, ὀξυτάτῳ τε, ὅπλῳ τῆς καρτερίας σου, τούτος ἀναστρεψάμενος, σαλπίσας τε ἅπασι, χριστιανῶν πάντως νίκη, καὶ στέφος τὸ ἀμαράντινον, τοῖς ἠγωνισμένοις, κατ’ ἐχθροῦ τοῦ ἀντιχρίστου, ὑπὲρ τῆς πίστεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὅτε σὲ οἱ θηριώδεις τύραννοι, τὸν Χριστὸν προὔτρεπον ἐξομώσασθαι, Ἀθλοφόρε Νικόλαε, τότε σου μᾶλλον τὸν φλογώδη καὶ διάπυρον πόθον, τοῦ μαρτυρίου ἀνῆπτον· ὅθεν καὶ πυρὰν ἐγειρομένην οὐκ ἔπτηξας, ἀλλ’ ὥσπερ λέων εὐτολμώτατα, χαίρων εἰσεπήδησας, μὴ δοὺς εἰς σάλον τοὺς πόδας σου, ἀλλὰ γηθόμενος ἔλεγες· οὐδὲν ἀπὸ σοῦ χωρίσει με Κύριε, καυθήτω μου τὸ σῶμα, ὅπως ἀναψύξῃ ἡ ψυχή μου, ῥυήτω ἄνθρωπος ὁ φθειρόμενος, ἵνα ζῇ ὁ ἀθάνατος· διὸ εἰ καὶ ἐν ὀφθαλμοῖς ἀφρόνων ἔδοξας τεθνᾶναι, ἀλλὰ ζῇς αἰωνίως, Ἀβραὰμ ἐν κόλποις ἀναπαυόμενος, καὶ ῥανίδας ἀφθόνους ἐλέους παρὰ τοῦ πλουσιοδώρου Θεοῦ ἐπιστάζων ἡμῖν τῇ μεσιτείᾳ σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.*

Πατρὶς χόρευε λαμπροφοροῦσα, νεομάρτυρος τοῦ Νικολάου, καὶ γὰρ οἰκεῖον αὐτόν, ἔχεις νῦν προστάτην σου, τὴν Οὐρανῶν γὰρ βασιλείαν τὴν ἄληκτον, τῶν οἰκείων ἄθλων ἐξωνησάμενος, δυσωπεῖ ἀεὶ Χριστὸν τὸν Θεὸν δωρήσασθαι, τὴν εἰρήνην σοι καὶ τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν νέον ἀθλητήν, εὐφημοῦμέν σε πάντες, τὸν μέσον ἀσεβῶν, παραστάντα ἀφόβως, καὶ Χριστὸν κηρύξαντα, Θεοῦ Λόγον τρανώτατα, καὶ αἰσχύναντα, τὸν πτερνιστὴν πρωτοπλάστου, τοῖς ἀγῶσί σου, καὶ μέγα κλέος τοῖς πᾶσι, πιστοῖς παρασχόμενον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.*

Ἐν τῷ πυρὶ σὺ χωνευθεὶς Ἀθλοφόρε, πῦρ νοητὸν ὡς ἀληθῶς ἀνεδείχθης, ᾧ Νεομάρτυς τὸν Χριστὸν Νικόλαε, ἀσεβῶν ἐκκαῦσαν μέν, φρυγανώδη θρησκείαν, τῶν πιστῶν φωτίσαν δέ, ἱερὰν Ἐκκλησίαν· διὸ χαρμονικῶς σοῦ ἑορτήν, τὴν φωτοβόλον πάντες γεραίρομεν.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Πυρπολούμενος, ἔρωτι θείῳ, τὴν πυρπόλησιν, οὐκ ἐπτοήθης, τοῦ πυρὸς τοῦ παμφάγου Νικόλαε, ἀλλ' εὐθαρσῶς ὦ γεννάδα ὑπήνεγκας, Χριστοῦ παρουσίαν κηρύττων τὴν ἔνσαρκον· ὅθεν ἔτυχες, τῆς παρ' αὐτῷ ἀναψύξεως, ἱκετεύεις τε, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον πιστοὶ χορεύσωμεν, ἐν ψαλμοῖς καὶ ὕμνοις, ἐπὶ τὴν σεπτὴν ἄθλησιν τοῦ Νεομάρτυρος, ὅτι τὸν Χριστὸν ἐκήρυξεν ἐν μέσῳ τῶν βαρβάρων, καὶ ὑπ' αὐτῶν πυρὶ καταφλέγεται, καὶ στέφανον μαρτυρίου λαμβάνει, παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ τοῦ Θεοῦ, Ὃν ἱκέτευε Μάρτυς Νικόλαε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς, καὶ τοῦ Νεομάρτυρος, οὗ ἡ ἀκροστιχίς: *Ὕμνον Ἀθλητῇ τῷ νέῳ, φέρω νέον.* Ἐν δὲ τοῖς Θεοτοκίοις: *Νικολάου.*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ὑμνῆσαι οὐκ ἔνεστι, σὲ κατ’ ἀξίαν Νικόλαε, τῇ πάνει τῶν λόγων μου, τῶν ἐπαξίων σου· ὅθεν δίδου μοι, σὺ χάριν οὐρανόθεν, ἁρμόδιον ὅπως σου, πλέξω ἐγκώμιον.

Μαρτύρων ἀθλοῦντά σε, χοροὶ θεώμενοι ἔχαιρον, καὶ Ἄγγελοι ἔπλεκον, στέφος πολύχρουν σοι, καὶ ἀμάραντον, ἐκ τῶν τοῦ Παραδείσου, ἀνθέων καλλίνικον, σὲ περιμένοντες

Νεόφωτος πέφηνας, τῇ Ἐκκλησίᾳ πανένδοξε, ἀστὴρ αὐγαζόμενος, Ἡλίου τοῦ νοητοῦ, τοῦ Θεοῦ ἡμῶν, Χριστοῦ ἀνταγλαΐαις, ψυχῶν τῶν τιμώντων σε, φωτίζων ὄμματα.

*Θεοτοκίον.*

Νυστάξαντα Δέσποινα, τὸν λογισμόν μου διέγειρον, τῇ μέθῃ βαρύνοντα, ἁμαρτιῶν μου σεμνή, καὶ ὁδήγησον, πρὸς τρίβον μετανοίας, ὁ Νυμφίος ὅπως ἄν, εὕροι με νήφοντα.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Οὐδόλως ἐκίνησαν τὴν φρένα, τὴν σὴν ἐρεισθεῖσαν τῷ Χριστῷ, τὰ τῶν ἐθχρῶν προσκρούσματα, σφοδρῶς σοι προσρηγνύμενα, ἀλλ’ ἔστης ἀντωθούμενος, ἐμοὶ βοῶν ὁ Χριστὸς Θεός.

Νεότης ἐῤῥέτω ἀνεβόας, καὶ πλοῦτος καὶ δόξαι καὶ τιμαί, τὰ παρ’ ὑμῖν ὦ τύραννοι, καὶ σὺν αὐτοῖς ἀπόλοισθε, ἐμοὶ Χριστὸς ὁ Κύριος, ἔσεται ταῦτα καὶ ἅπαντα.

Ἀνέτειλεν ἄρτι ἀνθηφόρον, τὸ ἔαρ κομπάζει τε ἡ γῆ, τερπνοῖς κοσμῶσα ἄνθεσι, καὶ τοῦ Χριστοῦ δὲ γάννυται, στεφανουμένη ἄθλοις σου, ἡ Ἐκκλησία Νικόλαε.

*Θεοτοκίον.*

Ἰδοὺ ὁ χειμὼν τῆς ἁμαρτίας, ταράττει με Δέσποινα ἁγνή, καὶ κλυδωνίζει σπεῦσον οὖν, καὶ πρὸς τὸ ὄντως ἔαρ με, τῆς εὐσπλαγχνίας τάχιστα, τῆς τοῦ Υἱοῦ Σου μετάγαγε.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἐξατμίσασα σῶμά σου το σεπτόν, καὶ ξηράνασα ὅλως τῆς φυσικῆς, ὑγρότητος πρόξενος, ποταμὸς ἀναβλύζειν σε, τῶν θαυμάτων ὄντως, ἡ δύναμις τοῦ πυρός, γέγονε τῇ δρόσῳ τε, Παραδείσου δροσίζεσθαι· ἔνθα τοῖς πυρίνοις, συναυλίζῃ Ἀγγέλοις, πυρὶ τῆς θεότητος, τῷ φωσφόρῳ λαμπόμενος, Νεομάρτυς Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Θάμβος μέγιστον τυράννοις, δυσσεβέσιν ἐνέβαλες, τοῖς πιστοῖς δὲ θάῤῥος, τὸ τοῦ μαρτυρίου Νικόλαε, αὐτομολήσας εὐθύμως προς τὸν θάνατον, ὑπὲρ πίστεως, τῆς εἰς Χριστὸν γενναιότατε.

Λαὸν ἄνομον βαρβάρων, σωρηδὸν καθορμήσαντα, ὡς λυσσώδεις κύνες, σὲ κατασπαράξαι οὐκ ἔπτηξας, ἀλλ᾽ ἐτροπώσω τῷ ξίφει τῆς ἀνδρείας σου, λογισάμενος, τὴν τούτων λύτταν ἀθύρματα.

Ἠλλοιώθη σου οὐδόλως, παρεστῶτος πρὸ βήματος, πιλατείου μάκαρ, τοῦ φαιδροῦ προσώπου ἡ πρόσοψις, ἀλλὰ σημαίνων νοός σου τὸ ἀτάραχον, δικαζόμενος, διὰ Χριστον ἔστης ᾄσμενος.

*Θεοτοκίον.*

Καθαρώτατον Παρθένε, εὐπρεπές τε κατάλυμα, ἐν ᾧ ξενοτρόπως, ὁ τῶν πάντων Ἄναξ κατέλυσεν, ἁμαρτιῶν γεγονότα με κατάλυμα, τοῦ ἐλέους Σου, σπεῦσον τοῖς ῥείθροις ἀπόπλυνον.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Τὸν σπόρον ἐνεκρυπτες, μυχοῖς τοῖς τῆς καρδίας σου, τὸν τῆς εὐσεβείας τῆς εὐκάρπου, ἀρούρας δίκην κᾂν ἀσεβείας χειμών, ἐκλόνει σε· ὅθεν εὐθαλῶς, θάλψας στάχυν εὔκαιρον, ἐξανῆκες πολύχουν τε.

Ἡ χρόνιος κάθειρξις, καὶ τῶν δεινῶν παρέκτασις, οὐκ ἠμαύρωσέ σου λαμπηδόνα, τὴν τοῦ γενναίου φρονήματος ἀλλ᾽ ἔστιλψε, μᾶλλον πρὸς τὴν πίστιν τοῦ

Χριστοῦ, μάκαρ ὥσπερ ἄργυρος, ἐπὶ πλέον τριβόμενος.

Τὸ ὄμμα ἀνέτεινας, καθάπαξ πρὸς οὐράνια, τὸ τῆς σῆς ψυχῆς ὅθεν παρεῖδες, τὴν τοῖς ποσί σου, προσανημμένην πυράν, ᾗ καὶ ἐπιβὰς πρὸς οὐρανόν, ταύτην σε μετάγουσαν, εὗρες πάγιον κλίμακα.

*Θεοτοκίον.*

Οἱ χείμαῤῥοι Δέσποινα, οἱ τῶν παθῶν κατέβησαν, τῆς σαρκὸς καὶ νῦν ὑπεραρθῆναι, τῆς κεφαλῆς μου ἐγγὺς ἐγένοντο, ὥστε κατακλύσαι με ἁγνή, οἴκτειρόν με δέομαι, καὶ αὐτοὺς ἀποξήρανον.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὡραία ὄντως καὶ πάμφωτος, πανήγυρις ἀνέτειλε σήμερον, τοῦ Νεομάρτυρος, πιστοὶ ἐνθέως χορεύσωμεν, τὸν βραβευτὴν τὸν τούτου, Χριστὸν δοξάζοντες.

Νυμφῶνος ἄξιον ἔνδυμα, τοῦ οὐρανίου μάκαρ ἐξύφανας, στεῤῥοῖς ἀγῶσί σου· διὸ εἰσῆλθες γηθόσυνος, εἰς τὴν χαρὰν Κυρίου, εὐφρανθησόμενος.

Εὐφραίνῃ μάκαρ τοῖς κάλλεσι, πολεύων Παραδείσου καὶ ἄνθεσι, τούτου στεφόμενος· ὧν καὶ ἡμᾶς καταξίωσον, τοὺς ὑμνητὰς σῶν ἄθλων, τῇ μεσιτείᾳ σου.

*Θεοτοκίον.*

Λαμπάδα πάγχρυσον ἔγνωμεν, τὸ πῦρ σὲ δεξαμένην θεότητος, ἀφλέκτως πάναγνε, καὶ τοὺς ἐν σκότει φωτίσασαν, τῆς ἁμαρτίας· ὅθεν, πίστει τιμῶμέν Σε.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἱεροῦ λειμῶνος σὺ τῆς Ἐκκλησίας, τοῦ Χριστοῦ ἐβλάστησας, νεοθαλὴς ὄντως βλαστός, κομῶν καρπῷ θείας χάριτος, πιστοὺς γλυκάζοντι Μάρτυς Νικόλαε.

*Ὁ Οἶκος.*

Ἐπείπερ καὶ σὺ τοῦ τῶν πάλαι Μαρτύρων, οὐκ ἀπελείφθης χοροῦ, ἀλλ' ἀξίως τῶν ἄθλων σου, ἐκείνοις συγκατηρίθμησαι, ἔδει καὶ τῶν ἐκείνους ἐγκωμιασάντων παρεῖναί τινα, ὥστε καὶ τῶν σῶν ἄθλων ἐπάξιον προσφωνῆσαι ἐγκώμιον, ἅτε δὴ μαρτυρικοὺς ἀγῶνας ἐξάραι δυνάμενον. Νῦν δ' ἐγὼ τί μὲν ἂν εἴποιμι; Τί δὲ καὶ φθέγξωμαι; ἐντεῦθεν μὲν τῆς ἀμαθείας, ἐντεῦθεν δὲ τῆς ἁμαρτίας τῷ δεσμῷ συνεχόμενός τε καὶ καθελκόμενος; ἀλλ' ἵνα μὴ καθάπαξ τῆς σῆς ἀξίας ἀπολειφθῇ μου ὁ λόγος, αὐτός μοι τὴν χάριν οὐρανόθεν ἐπίχεον, καὶ τὸ τραχύ μου τῆς γλώττης τῷ τοῦ Χριστοῦ ἀμβροσίῳ νέκταρι καταλίπανόν τε καὶ ἥδυνον, τῷ τοὺς πιστοὺς, γλυκάζοντι Μάρτυς Νικόλαε.

*Συναξάριον*

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνός, *ὁ Ἅγιος Νεομάρτυς Νικόλαος ὁ ἐκ Μετσόβου, ἐν Τρικάλοις μαρτυρήσας ἐν ἔτει 1617, πυρὶ τελειοῦται.*

*Ἵν' ἐκφύγῃς πῦρ τῆς γεέννης παμμάκαρ,*
*Τὸ πῦρ ὑπέστης Νικόλαε εὔθυφρον.*
*Ἑβδομάτῃ δεκάτῃ βῆ Νικόλεως ἐς Ὄλυμπον.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ὡς δροσούμενοι τῶν παίδων οἱ τρεῖς ἔαλλον, ἐν τῇ καμίνῳ ποτέ, φλογὸς εἰς μέσον ἑστώς, τῇ δρόσῳ τοῦ πνεύματος ψυχὴν δροσούμενος, σὺ ὑπέψαλλες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Φῶς ἐμήνυσε πιστοῖς ἡμῖν τὴν κάραν σου, οὖσαν κατάκρυπτον, καὶ γὰρ οὐκ ἔδει σου φῶς, οἰκοῦντος ἀνέσπερον, τάτην ἐνδόμυχον, εἶναι πάντας τε, ὧν ἔτυχον ἰάσεων, παρ᾽ αὐτῆς ὑστερηθῆναι.

Ἐκ τοῦ τοίχου νῦν ἀνέθορεν ἡ κάρα σου, ὡς τοῦ Προδρόμου ποτέ, ἐκ τῶν λαγόνων τῆς γῆς, ὡς ῥόδον ἡδύπνοον πιστοὺς μυρίζουσα, θαυματόβρυτος, πηγή τε καὶ ἀκένωτος, θησαυρὸς θείων χαρίτων.

*Θεοτοκίον.*

Ἀειπάρθενε ἐκ σκότει με βαδίζοντα, ἁμαρτιῶν καὶ τυφλόν, περιπλανώμενον Σύ, ἡ τέξασα Ἥλιον τὸν ὑπὲρ ἥλιον, τὸν Θεὸν ἡμῶν, δᾳδούχησον καὶ δεῖξόν μοι, τὴν ὁδὸν τῆς μετανοίας.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ῥέοντα καὶ ἄστατα ὁ Μάρτυς, ὁ νέος καταλιμπάνων δι᾽ ἀθλήσεως, Σῶτερ ὑμνολόγει σε, καὶ ἐδοξολόγει σε, τῇ μνήμῃ δ᾽ αὐτοῦ ψάλλειν σοι πάντας ἐκίνησε, τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὥρα ἡ τοῦ ἔαρος ἐπέστη, λειμῶνα τοῦ κατοικοῦντος τὸν οὐράνιον, Νικολάου Μάρτυρος, ἡ μνήμη νῦν συμπάρεστι, τὴν Ἐκκλησίαν ἅπασαν, Χριστοῦ

φαιδρύνουσα, κροτήσωμεν, φιλέορτοι πάντες, ᾄσματα Κυρίῳ, τιμῶντι τοὺς Ἁγίους.

Νάμα ζωηρὸν καὶ νεκταρῶδες, τὴν γλῶσσάν σου καταψύχει ἣν ἐξήρανεν, ἐν τῷ μαρτυρίῳ σου, τὸ πῦρ τὸ ἀκάματον, καὶ ἐν Ἀγγέλων ᾄσμασι τέρψει χορεύουσιν, οἱ πόδες σου, οἱ ὑπὲρ ἀγάπης, ἀπανθρακωθέντες, Μάρτυς τοῦ σοῦ Σωτῆρος.

*Θεοτοκίον.*

Ὄρος ἀλατόμητον ὢ Κόρη, ἐξ οὗ ὁ πολύτιμος λίθος ἐκτέτμηται, δίσκος ὁ δεξάμενος, δικαιοσύνης Ἥλιον, νεφέλη ὑετόῤῥυτος ἡ καταρδεύσασα, τὴν βρότειον κατάξηρον φύσιν, τάξον τοῦ Υἱοῦ Σου, ἐν δεξιῷ χορῷ με.

*Ὠδὴ θ΄. Ἅπας γηγενής.*

Ἔλεος ἐμοί, πρεσβείαις Νικόλαε ταῖς σαῖς κατάπεμψον, ἀμετρήτως πταίσαντι, ἀβύσσῳ πάντως ὡς παριστάμενος, ἐλέους ὡς γηθόσυνος πανηγυρίζω σου, ἐν τῇ μνήμῃ, καὶ χαρμοσυνώτατα, προσφωνήσω τὰ σὰ κατορθώματα.

Ὅλον ἐν κακοῖς, ἐμὲ ἰλυπώμενον ἄνωθεν ἔπιδε, οἴκτῳ τε φερόμενος, χεῖρά μοι ὄρεξον ἀναστάσεως, καὶ εὐσπλαγχνίας ῥῖψόν με Χριστοῦ τοῖς ῥεύμασι, καὶ νυμφῶνος, ἄξιον ἀπέργασαι, οὐρανίου εὐχαῖς ταῖς σαῖς δέομαι.

Νίκην κατ᾽ ἐχθροῦ, τῆς νίκης φερώνυμε, πιστοῦ λαοῦ κᾀμοί, δώρησαι καὶ τῶν παθῶν, τῶν ψυχοφθόρων καὶ τῶν κινδύνων με, ἐξάρπασον προσοίσαντα σοὶ τὸ ἐγκώμιον, τὸ βραχὺ μέν, τοῦτο

ἀλλὰ πρόθυμον, καὶ θερμοῦ τοῦ πρὸς σὲ πόθου ἔμπλεων.

*Θεοτοκίον.*

Ὕμνον προσεχῆ, τοῖς Σοῖς προτερήμασι, πῶς τι προσάξειε; Νοῦν γὰρ ὑπὲρ ἅπαντα, ἐκτελεσθέντα καὶ ὑπερκόσμιον, πῶς βρότειον ἐκγώμιον ἐμπεριλήψεται; ἀλ' ἀνάσχου, τούτου καὶ Υἱῷ Σου γάρ, φίλον ὅ,τι ἐστὶ κατὰ δύναμιν.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τὸν Μάρτυρα τὸν νέον, Χριστοῦ τὸν θεῖον ὁπλίτην, τῆς εὐσεβείας τὸ θῦμα, τὸν ἐραστὴν ἀληθείας, ὑμνήσωμεν συνελθόντες, φιλομαρτύρων τὸ στῖφος.

Καὶ τὸ τῆς Ἑορτῆς.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τὴν τῆς ἀνδρείας ἐσθῆτα περιβαλλόμενος, χειμῶνα τῶν βασάνων, ἀπτοήτως διῆλθες, καὶ ἔφθασας τὸ ἔαρ τὸ νοητόν, καὶ λειμῶνα οὐράνιον, καὶ σὺν Ἀγγέλοις παλεύεις Μάρτυς Χριστόν, ἱκετεύων τοῦ σωθῆναι ἡμᾶς. *(Δίς)*

Τῶν οὐρανίων ἁψῖδων Μαρτύρων Τάγματα, προκύψαντα λαμπρῶς σε, περιέμενον νέον, συμμάρτυρα καὶ ὕμνον θεοτερπῆ, τῷ Κυρίῳ ἀνέμελπον, εὐλογητὸς εἶ βοῶντες Παμβασιλεῦ, ὁ δοξάζων τοὺς Ἁγίους Σου.

Ἡμῖν ἐξ ὕψους την χάριν Μάρτυς τὴν ἔνθεον, κατάπεμψον τιμῶσι, σοῦ τὴν μνήμην καὶ νίκην, κατὰ

τῶν ἀοράτων καὶ ὁρατῶν, δυσμενῶν καὶ περίεπε, τῆς σῆς πατρίδος τὴν πίστιν ταῖς πρὸς Χριστόν, εὐπροσδέκτοις σου δεήσεσι.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀποβαλὼν δι' ἀθλήσεως, τῆς σαρκὸς τὸ ἄχθος, ὡς ἀετὸς ὑψιπέτης εἰς οὐρανὸν ἀνελήλυθας, Ἀθλοφόρε Νικόλαε, καὶ παραστὰς τῷ Χριστῷ, προπομπῇ τῶν Μαρτύρων καὶ τῶν θείων Ἀγγέλων ἐστεφάνωσαι, ὡς ἀριστεὺς καλλίνικος, παρὰ τοῦ στεφανοδότου Χριστοῦ, εὖ δοῦλε ἀγαθέ σοι φήσαντος· ὡς παῤῥησίαν τοίνυν ἔχων πρὸς Αὐτόν, μὴ διαλίπῃς πρεσβεύων, λυτροῦσθαι κινδύνων τοὺς τιμῶντάς σε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

